κυάνεον δ' ὄμμασι λεύσσων στρ. β'
φονίου δέργμα δράκοντος,
πολύχειρ καὶ πολυναύτας,
Σύριόν θ' ἅρμα διώκων,
ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον Ἄρη.

δόκιμος δ' οὔτις ὑποστὰς ἀντ. β'
μεγάλῳ ῥεύματι φωτῶν
ἐχυροῖς ἕρκεσιν εἴργειν
ἄμαχον κῦμα θαλάσσας·
ἀπρόσοιστος γὰρ ὁ Περσᾶν
στρατὸς ἀλκίφρων τε λαός.

δολόμητιν δ' ἀπάταν θεοῦ στρ. γ'
τίς ἀνὴρ θνατὸς ἀλύξει;
τίς ὁ κραιπνῷ ποδὶ πήδη-
μα τόδ' εὐπετῶς ἀνάσσων;

φιλόφρων γὰρ παρασαίνει ἀντ. γ'
βροτὸν εἰς ἄρκυας ἄτας,
τόθεν οὐκ ἔστιν ὑπὲρ
θνατὸν ἀλύξαντα φυγεῖν.

θεόθεν γὰρ κατὰ Μοῖρ' στρ. δ'
ἐκράτησεν τὸ παλαιόν, ἐπέσκηψε δὲ Πέρσαις
πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας
τε κλόνους πόλεών τ' ἀναστάσεις.

ἔμαθον δ' εὐρυπόροι- ἀντ. δ'
ο θαλάσσας πολιαινομένας πνεύματι λάβρῳ